Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-597310-p0001-8

O 27 12°

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-597310-p0002-4

Ma 250

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-597310-p0003-0

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-597310-p0004-5

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ
ἡμῶν

# ΙΩΑΝΝΟΥ
# ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ

ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ
τοῦ χρυσοστόμου,

ΟΜΙΛΙΑ ΕΓΚΩΜΙΑΣΤΙΚΑ ΕΙΣ
τὼ ἁγίω ἱερομάρτυρε Ἰγνάτιον καὶ Βαβύλαν
ἀρχιεπισκόπω Ἀντιοχείας τῆς
μεγάλης.

Sancti Patris nostri

## IOANNIS CHRYSOSTOMI

ARCHIEPISCOPI CONSTANTI-
NOPOLITANI ENCOMIA,

*Sanctorum Martyrum Ignatij & Babylæ Archiepi-
scoporum Antiochenorum.*

M
Ma 250
Bibliotheca pauperum Bamberg
UNIVERSITÄT HALLE. THEOL. SEMINAR

COLONIAE AGRIPPINAE,
In Officina Birckmannica, sumptibus
Hermanni Mylij.
ANNO M. DC. XI.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-597310-p0005-1

BIBLIOTHEK
DES
THEOL. SEMINARS

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-597310-p0007-2

Encomium in sacrosanctum Martyrem
Ignatium Deiferum qui fuit Archiepiscopus Magnae Antiochiae.

Sumptuosi et ambitiosi conuiuatores crebro et alternis faciunt conuiuia. simul cum quidem domesticam affluentiam ostentantes, simul tum vero ~~beneuole familiariter~~ erga familiares beneuolentiam exhibentes. Sic et Spus gratiae patriae potestatis demonstrationibus nobis opulentes, et multam beneuolentiam erga deum amicos ostensurus ~~ostensuros~~ cohaerentes nobis et permixtas nobis Martyrum ~~mensas~~ apponit mensas. Primum ergo nos virgo adm ~~ac~~ tenera et innupta B. Martyr pelagia cum multa liberalitate conuiuio ~~suo~~ accepit. Hodie iterum festum illius S. hic et strenuus Martyr Ignatius excipit. Diuersae personae, sed vna mensa. Variata ~~certamina~~ lucta, sed vna corona. diuersa certamina, sed vnum brauium. In exterioribus quidem dimicationibus prout corpora sunt ~~sunt~~ labores, ~~ita merita~~ ita certo viri soli iudicantur.

# ΕΓΚΩΜΙΟΝ ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΙΕΡΟΜΑΡΤΥΡΑ

Ἰγνάτιον τὸν θεοφόρον, ἀρχιεπίσκοπον γενόμενον Ἀντιοχείας τῆς μεγάλης.

Οἱ πολυτελεῖς καὶ φιλότιμοι τῶν ἑστιατόρων πυκνὰς καὶ ἐπαλλήλοις ποιοῦνται τὰς ἑστιάσεις· ὁμοῦ μὲν τὴν οἰκείαν περιουσίαν ἐπιδεικνύμενοι, ὁμοῦ δὲ τὴν περὶ τοὺς ἐπιτηδείοις φιλοφροσύνην ἐμφαίνοντες· οὕτω καὶ ἡ τοῦ πνεύματος χάρις τῆς οἰκείας δυνάμεως τὴν ἀπόδειξιν ἡμῖν παρεχομένη, καὶ πολλὴν τὴν φιλοφροσύνην περὶ τοὺς τοῦ θεοῦ φίλοις ἐπιδεικνυμένη συνεχεῖς ἡμῖν καὶ ἐπαλλήλοις τὰς τῶν μαρτύρων παρατίθεται τραπέζας. πρώην γοῦν ἡμᾶς κόρη κομιδῆ νέα καὶ ἀπειρόγαμος ἡ μακαρία μάρτυς Πελαγία μετὰ πολλῆς τῆς εὐφροσύνης εἱστίασε· σήμερον πάλιν τὴν ἐκείνης ἑορτὴν ὁ μακάριος οὗτος καὶ γενναῖος μάρτυς Ἰγνάτιος διεδέξατο. διάφορα τὰ πρόσωπα, ἀλλὰ μία ἡ τράπεζα· ἐνηλλαγμένα τὰ παλαίσματα, ἀλλ' εἷς ὁ στέφανος· ποικίλα τὰ ἀγωνίσματα, ἀλλὰ τὸ αὐτὸ βραβεῖον. ἐπὶ μὲν γὰρ τῶν ἔξωθεν ἀγώνων ἐπειδὴ σωμάτων εἰσὶν οἱ πόνοι, εἰκότως ἄνδρες ἐγκρί-

νονται μόνοι· ἐνταῦθα δὲ ἐπειδὴ τῆς ψυχῆς ὁ ἀγὼν ἅπας ἐστίν, ἑκατέρᾳ τῇ φύσει τὸ στάδιον ἀνέῳγεν· ἑκατέρῳ δὲ γένει τὸ θέατρον κάθηται· καὶ οὔτε ἄνδρες ἀπεδύσαντο μόνον, ἵνα μὴ πρὸς τὴν τῆς φύσεως ἀσθένειαν αἱ γυναῖκες καταφεύγουσαι δόξωσιν ἔχειν εὐπρόσωπον ἀπολογίαν· οὔτε γυναῖκες ἠνδρίσαντο μόναι, ἵνα μὴ τὸ τῶν ἀνδρῶν καταισχύνηται γένος· ἀλλὰ καὶ ἐντεῦθεν κἀκεῖθεν πολλοὶ οἱ ἀνακηρυττόμενοι καὶ στεφανούμενοι· ἵνα μάθῃς διὰ τῶν ἔργων αὐτῶν ὅτι ἐν Χριστῷ Ἰησοῦ οὐκ ἄρσεν οὐ θῆλυ· ὅτι οὔτε φύσις, οὔτε σώματος ἀσθένεια, οὔτε ἡλικία, οὔτε ἄλλο οὐδὲν τῶν τοιούτων ἐμποδίσαι δύναιτ᾽ ἂν τὶς τὸν τῆς εὐσεβείας τρέχουσι δρόμον. ἐὰν προθυμία γενναία, καὶ φρόνημα διεγηγερμένον καὶ φόβος θεοῦ θερμὸς καὶ διάπυρος ἐρριζωμένος ἡμῶν ἐν ταῖς ψυχαῖς ᾖ. διὰ τοῦτο καὶ κόραι, καὶ γυναῖκες, καὶ ἄνδρες, καὶ νέοι, καὶ γέροντες, καὶ δοῦλοι, καὶ ἐλεύθεροι, καὶ πᾶσα ἀξία, καὶ ἡλικία ἅπασα, καὶ φύσις ἑκατέρα πρὸς τοὺς ἀγῶνας ἀπεδύσαντο τούτους, καὶ οὐδαμόθεν· οὐδὲν παρεβλάβησαν, ἐπεὶ προαίρεσιν γενναίαν εἰσήνεγκαν εἰς τὰ παλαίσματα ταῦτα. ὁ μὲν οὖν καιρὸς ἡμᾶς ἤδη πρὸς τὴν διήγησιν τῶν τοῦ μακαρίου τούτου κατορθωμάτων καλεῖ· ὁ λογισμὸς δὲ ταράττεται καὶ θορυβεῖται· οὐκ ἔχων τί πρῶτον, τί δεύτερον

Hic vero postquam aiae certamen oe completum est, utriq naturae stadium aperitur, utriq sexui ~~sta dium aperitur~~ theatrum insidetur. Et neq viri exuunt robur, neq ad naae infirmitatē mulieres confugientes putant se habere pulchritudinis excusatioe. Neq mulieres solum ~~fortiter~~ viriliter egerunt, neq virile sexum ~~tantum~~ erubescunt. Sed ex eodem loco deinde multi victores proclamati, et coronati. ut discas quia scdm opa ipsa in X° Jesu nec vir, nec femina. qa neq naae, neq corporis infirmitas, neq aetas, neq aliud aliqd hominis impedimento esse poterit currentibus viam pietatis. cum fortitudo ingenita, et prudentia incitata et timor Dni ardens et ~~...~~ agnitus radicatus sit in ais ipsorum per hoc et puellae, et ~~virgines~~ feminae, et Viri, et adolescentes, et senes, et servi, et liberi, et oes dignitas, et aetas ois, et ~~...~~ sexus uterq ad hec certamina armantur, et nō aliunde. Neq male cessit, postquam propositum virile applicuerunt ad hec certamina. Nunc ~~quidē~~ igr orationē ~~nobis~~ nos ad narrationē sc̄olaris factum huius sc̄ti vocat. Ideoq prelium et fluctuat ~~...~~ nō huius quid primum, qd secundum dicam

qd tertio. tanta affluit undiq nos laudu copia. Et tale (idem) patimur, quale si quis in pratum ingressus, et frequens rosetum intuitus, et multam violam, et lilium eiusmodi, et alios ver-nos flores varios et distinctos dubitat (dubitare pot) quid primo videat, quid secundo, quovis specta-torum ad se vocante (trahente) visum (oculos) Etenim et nos in spiritale hoc pratu Ignatij recte factoru ingressi, et no qde flores vernos, sed ip-sum spus fructum variu et distinctum in ipsius aio contemplantes turbamur et dubitamus no habentes ~~quomodo~~ ubi prima sermocinationis ser-mone, quavis reru spectatarum proximitate in diver-sum trahente, et in qrij decoris complexu rapie-te aie visum (illorum). Videte .n. pfuit apud nos Ecclia fortiter, et ista sollicitudine, qta Xus vult. Qui .n. summu vertice et reglam Episcopatus dixit esse illo, eu hic per opa dstravit. Etenim Xu audies dicente quod pastor bonus aiam suam ponit pro ovibus, cum oi fortitudine eam dedit p ovibus. Conversatus est cum Aplis legitime, et spiritalibus fluentis fructus est (rigatus est). Qualem g esse qsentaneu est

ἀπεῖν· τί πρῶτον· τοσοῦτον περιρρεῖ πάντοθεν ἡμᾶς ἐγκωμίων πλῆθος. καὶ ταυτὸν πάσχομεν, οἷον ἂν εἴ τις εἰς λειμῶνα εἰσελθὼν, καὶ πολλὴν μὲν τὴν ῥοδωνιὰν ἰδὼν, πολὺ δὲ τὸ ἴον, καὶ τὸ κρίνον τοσοῦτον, καὶ ἕτερα δὲ ἠρινὰ ἄνθη ποικίλα τὲ καὶ διάφορα ἀπορήσειεν, τί πρῶτον ἴδῃ, τί δεύτερον, ἑκάστου τῶν ὁρωμένων πρὸς ἑαυτὸ καλοῦντος τὰς ὄψεις. καὶ γὰρ καὶ ἡμεῖς εἰς τὸν πνευματικὸν τοῦτον λειμῶνα τῶν Ἰγνατίου κατορθωμάτων εἰσελθόντες, καὶ οὐχὶ ἄνθη ἠρινὰ, ἀλλ' αὐτὸν τοῦ πνεύματος τὸν καρπὸν ποικίλον τὲ καὶ διάφορον ἐν τῇ τούτου ψυχῇ θεώμενοι θορυβούμεθα, καὶ διαποροῦμεν, οὐκ ἔχοντες ποῦ πρῶτον τὸν λογισμὸν ἀπερείσωμεν, ἑκάστου τῶν ὁρωμένων ἀπὸ τῶν πλησίον ἀνθέλκοντος, καὶ πρὸς τὴν τῆς οἰκείας εὐπρεπείας θεωρίαν ἐπισπωμένου τὴν τῆς ψυχῆς ὄψιν. σκοπεῖτε γάρ· προέστη τῆς παρ' ἡμῖν ἐκκλησίας γενναίως, καὶ μετὰ τοσαύτης ἀκριβείας, μεθ' ὅσης ὁ Χριστὸς βούλεται. ὃν γὰρ μέγιστον ὅρον καὶ κανόνα τῆς ἐπισκοπῆς ἔφησεν εἶναι ἐκεῖνος, τοῦτον οὗτος διὰ τῶν ἔργωμ ἐπεδείξατο. καὶ γὰρ τοῦ Χριστοῦ λέγοντος ἀκούσας, ὅτι ὁ ποιμὴν ὁ καλὸς τὴμ ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτωμ, μετὰ πάσης ἀνδρείας αὐτὴν ἐπέδωκεμ ὑπὲρ τῶν προβάτων. συνεγένετο τοῖς ἀποστόλοις γνησίως, καὶ τῶμ πνευματικῶμ ναμάτων ἀπήλαυσεν. ὁποῖον οὖν εἶναι εἰκὸς τὸν ἐντρα-

φέντα ἐκείνοις, καὶ πανταχοῦ συγγενόμενον καὶ ῥητῶν
καὶ ἀπορρήτων αὐτοῖς κοινωνήσαντα, καὶ τοσαύτης εἶναι
δόξαντα αὐτοῖς ἀρχῆς ἄξιον; ἐπέστη πάλιν καιρὸς ἀν-
δρείαν ἐπιζητῶν καὶ ψυχὴν τῶν παρόντων ὑπερορῶ-
σαν ἁπάντων, καὶ τῷ θείῳ ζέουσαν ἔρωτι, καὶ τὰ μὴ
βλεπόμενα τῶν ὁρωμένων προτιμῶσαν, καὶ μετὰ το-
σαύτης εὐκολίας τὴν σάρκα ἀπέθετο, μεθ' ὅσης ἄν τις
ἱμάτιον ἀποδύσαιτο. τί οὖν πρότερον εἴπωμεν; τῶν ἀ-
ποστόλων τὴν διδασκαλίαν. ἣν ἐπεδείξατο διὰ πάντων,
ἢ τὴν παρούσης ζωῆς τὴν ὑπεροψίαν, τὴν ἀκρίβειαν τῆς
ἀρετῆς, μεθ' ἧς τὴν προστασίαν τῆς ἐκκλησίας ᾠκονόμη-
σεν. τίνα πρότερον ἀνυμνήσωμεν, τὸν μάρτυρα, ἢ τὸν
ἐπίσκοπον, ἢ τὸν ἀπόστολον; τριπλοῦν γὰρ στέφανον ἡ
τοῦ πνεύματος πλέξασα χάρις, οὕτω τὴν ἁγίαν ἐκεί-
νου ἀνέδησε κεφαλήν· μᾶλλον δὲ πολλαπλοῦν. τῶν γὰρ
στεφάνων ἕκαστον εἴ τις αὐτοὺς μετὰ ἀκριβείας ἀναπτύ-
ξειεν, εὑρήσει καὶ ἑτέροις ἡμῖν βλαστάνοντας στεφάνοις·
καὶ εἰ βούλεσθε πρότερον ἐπὶ τὸν τῆς ἐπισκοπῆς ἔπαι-
νον ἔλθωμεν· οὐ δοκεῖ εἷς οὗτος εἶναι στέφανος μόνος·
φέρε οὖν αὐτὸν ἀναπτύξωμεν τῷ λόγῳ, καὶ ὄψεσθε καὶ
δύο, καὶ τρεῖς, καὶ πλείους ἐξ αὐτοῦ τικτομένους ἡμῖν. οὐ
γὰρ μόνον ὅτι τοσαύτης ἀρχῆς ἄξιος εἶναι ἔδοξε, θαυ-
μάζω τὸν ἄνδρα ἐγώ, ἀλλ' ὅτι καὶ παρὰ τῶν ἁγίων

ἐκείνων

innutritum esse illis, et ubique cohabitantem (conversantem)
dictorum et arcanorum cum illis participem, et tanto
esse visum illis ~~dignitatis~~ principatu dignum? Ad-
fuit denique opportunitas fortitudinem postulans, et
etiam praesentium contemptricem omnium, et divino arden-
tem amore, et invisibilia quidem visibilibus antefe-
rentem: et tanta facilitate carnem deposuit,
quanta quis vestem exueret. Quid ergo prius dicemus?
Apostolorum disciplinam, quam demonstravit in omnibus, aut praesen-
tis vitae contemptum, studium virtutis: qua praefe-
cturam Ecclesiae administravit. Quem prius praedicabimus?
An martyrem, an episcopum, an apostolum? Triplicem enim coro-
nam Spiritus gratia texens sic tandem sanctum illud caput de-
vinxit. Quinimo potius multiplicem. Harum coronarum
quamlibet, si quis illas cum diligentia explicabit, inveniet
etiam alias nobis pullulantes coronas. Et si vultis
prius veniamus ad episcopatus certamen. Non videtur una illa esse
sola corona. Age igitur illam explicemus sermone, et
videte etiam duas, et tres, et plures ex ipsa enas-
centes nobis. Non enim tantum quia tanta dignitate dignus
esse visus est admiror hunc virum ego, sed quia per sanctos

illos ~~viros~~ ad principatum huius inductus est, et
beatorum Apostolorum manus sacrum tetigerunt caput.
Neque enim parvum hoc (est) ad laudis famam sermonem. Non
postquam maiorem desiit detraxerunt gratiam, neque
quia liberaliorem sibi eum fecerunt venire super esti-
mationem illius, sed quia omnes ipsi inter homines testati
sunt virtutem. Hoc autem quomodo ego assero? Tito
scribens Paulus aliquid, cum Paulum dico, non hoc
solum dico, sed et Petrum, et Jacobum, et Joannem, et
omnem ipsorum chorum: quemadmodum enim in lyra una dicitur
si quidem nervis, una vero symphonia; sic et in hoc
coetu Apostolorum diversae quidem personae, una tamen doctrina,
cum unus artifex existeret spiritus sanctus movens ipso-
rum animas, et hoc expertus est Paulus dixit: aut
igitur illi, aut ego sic praedicabimus. Scribens
igitur ~~Tit~~ sic Tito, et ostendens qualem quemque Epis-
copum esse oporteret, inquit. Oportet igitur Episcopum
irreprehensibilem esse, ut Dei dispensatorem, non sibi placentem, non
iracundum, non vinolentum, non percussorem, non turpis
lucri cupidum, sed hospitalem, benignum, sobrium, iu-
stum, sanctum, continentem, amplectentem fidelem sermonem ut
potens sit etiam alios exhortari in doctrina sana et

ἐκείνων τὴν ἀρχὴν ταύτην ἐνεχειρίσθη, καὶ αἱ τῶν μακαρίων ἀποστόλων χεῖρες τῆς ἱερᾶς ἥψαντο κεφαλῆς. οὐδὲ γὰρ μικρὸν τοῦτο εἰς ἐγκωμίου λόγον· οὐκ ἐπειδὴ πλείω τὴν ἄνωθεν ἐπεσπάσατο χάριν· οὐδ᾽ ὅτι δαψιλεστέραν ἐπ᾽ αὐτὸν ἐποίησαν ἐλθεῖν τὴν τοῦ πνεύματος ἐνέργειαν μόνον· ἀλλ᾽ ὅτι καὶ πᾶσαν αὐτῷ τὴν ἐν ἀνθρώποις ἐμαρτύρησαν ἀρετήν· τὸ δὲ πῶς ἐγὼ λέγω. Τίτῳ γράφων ὁ Παῦλος ποτέ· ὅταν δὲ Παῦλον εἴπω, οὐ τοῦτο μόνον λέγω, ἀλλὰ καὶ Πέτρον, καὶ Ἰάκωβον, καὶ Ἰωάννην, καὶ πάντα αὐτῶν τὸν χορόν. καθάπερ γὰρ ἐν λύρᾳ μιᾷ διάφοροι μὲν αἱ νευραί, μία δὲ ἡ συμφωνία· οὕτω καὶ ἐν τῷ χορῷ τῶν ἀποστόλων, διάφορα μὲν τὰ πρόσωπα, μία δὲ ἡ διδασκαλία· ἐπειδὴ καὶ εἷς ὁ τεχνίτης ἦν τὸ πνεῦμα τὸ ἅγιον τὸ κινοῦν τὰς ἐκείνων ψυχάς. καὶ τοῦτο ἐμφαίνων ὁ Παῦλος ἔλεγεν· εἴ τε οὖν ἐκεῖνοι, εἴ τε ἐγώ, οὕτω κηρύσσομεν. γράφων τοίνυν οὗτος τῷ Τίτῳ, καὶ δεικνὺς ὁποῖόν τινα τὸν ἐπίσκοπον εἶναι χρή φησι· δεῖ γὰρ τὸν ἐπίσκοπον ἀνέγκλητον εἶναι ὡς θεοῦ οἰκονόμον, μὴ αὐθάδη, μὴ ὀργίλον, μὴ πάροινον, μὴ πλήκτην, μὴ αἰσχροκερδῆ, ἀλλὰ φιλόξενον, φιλάγαθον, σώφρονα, δίκαιον, ὅσιον, ἐγκρατῆ, ἀντεχόμενον τοῦ κατὰ τὴν διδαχὴν πιστοῦ λόγου· ἵνα δυνατὸς ᾖ καὶ ἑτέρους παρακαλεῖν ἐν τῇ διδασκαλίᾳ τῇ ὑγιαινούσῃ,

καὶ τοὺς ἀντιλέγοντας ἐλέγχειν. καὶ Τιμοθέῳ πάλιν περὶ τῆς ὑποθέσεως ταύτης ἐπιστέλλων, οὕτω πως φησίν· εἴ τις ἐπισκοπῆς ὀρέγεται, καλοῦ ἔργου ἐπιθυμεῖ· δεῖ οὖν τὸν ἐπίσκοπον ἀνεπίληπτον εἶναι, μιᾶς γυναικὸς ἄνδρα, νηφάλιον, σώφρονα, κόσμιον, φιλόξενον, διδακτικόν, μὴ πλήκτην, μὴ πάροινον, ἀλλ' ἐπιεικῆ, ἄμαχον, ἀφιλάργυρον. εἶδες πόσην ἀκρίβειαν ἀρετῆς ἀπαιτεῖ τὸν ἐπίσκοπον; καθάπερ γὰρ τις ζωγράφος ἄριστος ποικίλα κεράσας χρώματα, ἣν ἂν μέλλῃ βασιλικῆς μορφῆς πρωτότυπον κατασκευάζειν εἰκόνα, μετὰ πάσης ἐργάζεται τῆς ἀκριβείας, ὥστε τοὺς μιμουμένοις αὐτὴν ἅπαντας καὶ γράφοντας ἐξ αὐτῆς διηκριβωμένην ἔχειν εἰκόνα· οὕτω δὴ καὶ ὁ μακάριος Παῦλος καθάπερ τινὰ εἰκόνα βασιλικὴν γράφων, καὶ τὸ ἀρχέτυπον αὐτῆς κατασκευάζων τὰ ποικίλα τῆς ἀρετῆς κεράσας χρώματα, ἀπηρτισμένοις ἡμῖν τοὺς χαρακτῆρας ὑπέγραψε τῆς ἐπισκοπῆς· ἵν' ἕκαστος τῶν εἰς τὴν ἀρχὴν ταύτην ἀναβαινόντων, εἰς ἐκείνην ὁρῶν μετὰ τοσαύτης ἀκριβείας τὰ καθ' ἑαυτὸν ἅπαντα οἰκονομῇ. θαῤῥῶν τοίνυν εἴποιμι ἄν, ὅτι πᾶσαν αὐτὴν μετὰ ἀκριβείας ὁ μακάριος Ἰγνάτιος ἀπεμάξατο ἐν τῇ ἑαυτοῦ ψυχῇ, καὶ ἀνεπίληπτος ἦν καὶ ἀνέγκλητος, καὶ οὔτε αὐθάδης, οὔτε ὀργίλος, οὔτε πάροινος, οὔτε

contradicentes arguere. Et Timotheo

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-597310-p0019-2

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-597310-p0020-4

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-597310-p0021-9

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-597310-p0022-5

πλήκτης, ἀλλ' ἄμαχος, ἀφιλάργυρος, δίκαιος, ὅσιος, ἐγκρατὴς, ἀντεχόμενος τοῦ κατὰ τὴν διδαχὴν πιστοῦ λόγου. νηφάλιος, σώφρων, κόσμιος, καὶ τὰ ἄλλα ἅπερ ὁ Παῦλος ἀπήτησε. καὶ τίς τούτων ἀπόδειξις φησίν· αὐτοὶ οἱ ταῦτα εἰρηκότες αὐτὸν ἐχειροτόνησαν, καὶ οὐκ ἂν οἱ μετὰ τοσαύτης ἀκριβείας παραινοῦντες ἑτέροις τὴν δοκιμασίαν ποιεῖσθαι τῶν μελλόντων ἐπὶ τὸν θρόνον τῆς ἀρχῆς ἀναβαίνειν τοῦτον, αὐτοὶ παρέργως τοῦτο ἐποίησαν ἂν ἀλλ' εἰ μὴ πᾶσαν εἶδον τὴν ἀρετὴν ταύτην ἐν τῇ ψυχῇ τοῦ μάρτυρος τούτου πεφυτευμένην, οὐκ ἂν αὐτῷ ταύτην ἐνεχείρισαν τὴν ἀρχήν. καὶ γὰρ ἴσασιν ἀκριβῶς ὅσος κίνδυνος κεῖται τοῖς ἁπλῶς καὶ ὡς ἔτυχε τὰς τοιαύτας ποιουμένοις χειροτονίας. καὶ τοῦτο αὐτὸ πάλιν ἐμφαίνων ὁ Παῦλος πρὸς αὐτῷ Τιμοθέῳ γράφων ἔλεγεν· χεῖρας ταχέως μηδενὶ ἐπιτίθει, μηδὲ κοινώνει ἁμαρτίαις ἀλλοτρίαις. τί λέγεις; ἄλλος ἥμαρτε, κἀγὼ κοινωνῶ τῶν ἐγκλημάτων καὶ τῆς τιμωρίας; ναί φησιν· ὁ τῇ πονηρίᾳ τὴν ἐξουσίαν παρασχὼν, καὶ καθάπερ τις μαινομένῳ καὶ παραπαίοντι ξίφος ἐγχειρίσας ἠκονημένον, ὃν ἂν ἐργάσηται φόνον ὁ μεμηνώς, ἐκεῖνος ὑφίσταται τὴν αἰτίαν ὁ τὸ ξίφος δεδωκὼς, οὕτω καὶ ἀνθρώπῳ τις πονηρίᾳ συζῶντι τὴν ἀπὸ τῆς ἀρχῆς ταύτης ἐξουσίαν παρασχὼν

τὸ πῦρ ἅπαν τῶν ἁμαρτημάτων ἐκείνου καὶ τῶν τολμημάτων ἐπὶ τὴν οἰκείαν ἕλκει κεφαλήν· ὁ γὰρ τὴν ῥίζαν παρασχὼν πανταχοῦ οὗτος τῶν ἐξ αὐτῆς φυομένων ἐστὶν αἴτιος. εἶδες πῶς διπλοῦς ἡμῖν ὁ στέφανος ἐφάνη τῆς ἐπισκοπῆς τέως, καὶ λαμπροτέραν ἐποίησε τὴν ἀρχὴν τὸ τῶν χειροτονησάντων αὐτὸν ἀξίωμα πᾶσαν ἀπόδειξιν ἀρετῆς αὐτῷ μαρτυροῦσαν; βούλεσθε καὶ ἕτερον ὑμῖν ἐκκαλύψω στέφανον ἀπ' αὐτοῦ τούτου βλαστάνοντα; ἀναλογισώμεθα τὸν καιρὸν καθ' ὃν τὴν ἀρχὴν ἐνεχειρίσθη ταύτην. οὐ γάρ ἐστιν ἴσον ἐκκλησίαν οἰκονομῆσαι νῦν καὶ τότε, ὥσπερ οὐκ ἔστιν ἴσον τετριμμένην ὁδὸν, καὶ κατεσκευασμένην καλῶς, μετὰ πολλοὺς ὁδοιπόρους ὁδεύειν, καὶ νῦν πρώτως τέμνεσθαι μέλλουσαν, καὶ φάραγγας, καὶ λίθους ἔχουσαν, καὶ θηρίων γέμουσαν, καὶ μηδέπω μηδένα δεξαμένην ὁδοιπόρον. νῦν μὲν γὰρ τῇ τοῦ θεοῦ χάριτι κίνδυνος οὐδεὶς τοῖς ἐπισκόποις, ἀλλ' εἰρήνη πανταχόθεν βαθεῖα, καὶ γαλήνης ἀπολαύομεν ἅπαντες, τοῦ λόγου τῆς εὐσεβείας ἐκτεταμένου πρὸς τὰ πέρατα τῆς οἰκουμένης, καὶ τῶν βασιλευόντων ἡμῖν τὴν πίστιν σωτηρούντων μετὰ ἀκριβείας. τότε δὲ οὐδὲν τούτων ἦν, ἀλλ' ὅπου περ ἄν τις εἶδε κρημνοὶ, καὶ βάραθρα, καὶ πόλεμοι, καὶ μάχαι, καὶ κίνδυνοι, καὶ ἄρχοντες, καὶ βασιλεῖς, καὶ δῆμοι, καὶ πόλεις,

καὶ

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-597310-p0025-2

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-597310-p0026-8

καὶ ἔθνη, καὶ οἰκεῖοι, καὶ ἀλλότριοι τοῖς πιστεύουσιν ἐπεβούλευον· καὶ οὐ τοῦτο μόνον ἦν τὸ δεινὸν, ἀλλ' ὅτι καὶ αὐτῶν τῶν πιστευσάντων πολλοὶ, ἅτε νῦν πρώτως δογμάτων γευσάμενοι ξένων πολλῆς ἐδέοντο τῆς συγκαταβάσεως, καὶ ἀσθενέστερον ἔτι διέκειντο, καὶ πολλάκις ὑπεσκελίζοντο. καὶ τοῦτο ἦν ὃ τῶν ἔξωθεν πολέμων οὐκ ἔλαττον ἐλύπει τοὺς διδασκάλους, μᾶλλον δὲ καὶ πολλῷ πλέον. αἱ μὲν γὰρ ἔξωθεν μάχαι, καὶ ἐπιβουλαὶ, καὶ ἡδονὴν παρεῖχον αὐτοῖς πολλὴν διὰ τὴν ἐλπίδα τῶν ἀποκειμένων μισθῶν· διὰ τοῦτο καὶ οἱ ἀπόστολοι ὑπέστρεφον ἀπὸ προπροσώπου τοῦ συνεδρίου χαίροντες, ὅτι ἐμαστιγώθησαν, καὶ Παῦλος βοᾷ λέγων· χαίρω ἐν τοῖς παθήμασί μου. καὶ καυχᾶται ἐν ταῖς θλίψεσι πανταχοῦ· τὰ δὲ τῶν οἰκείων τραύματα, καὶ τὰ τῶν ἀδελφῶν πτώματα οὐδὲ ἀναπνεῖν αὐτοὺς ἠφίει· ἀλλ' ὥσπερ τις κύφων βαρύτατος τὸν αὐχένα τῆς ψυχῆς αὐτῶν ἐπίεζε, καὶ κατέσπα διηνεκῶς. ἄκουσον γοῦν ὁ Παῦλος ὁ οὕτω χαίρων ἐν τοῖς παθήμασι πῶς ὑπὲρ τούτων πικρῶς ὀδυνᾶται. τίς γάρ φησιν ἀσθενεῖ καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται καὶ οὐκ ἐγὼ πυροῦμαι; καὶ πάλιν· φοβοῦμαι μή πως ἐλθὼν οὐχ οἵους θέλω εὕρω ὑμᾶς, κἀγὼ εὑρεθῶ ὑμῖν οἷον οὐ θέλετε· μὴ πάλιν ἐλθόντα με πρὸς ὑμᾶς ταπεινώσῃ ὁ θεὸς, καὶ πενθήσω πολλοὺς

τῶν

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-597310-p0027-3

τῶν προημαρτηκότων, καὶ μὴ μετανοησάντων ἐπὶ τῇ ἀκαθαρσίᾳ, καὶ ἀσελγείᾳ, καὶ πονηρίᾳ ᾗ ἔπραξαν. καὶ διὰ παντὸς ὁρᾷς ἐν δάκρυσιν αὐτὸν ὄντα καὶ θρήνοις διὰ τοὺς οἰκείους, καὶ δεδοικότα, καὶ τρέμοντα ὑπὲρ τῶν πεπιστευκότων ἀεί. ὥσπερ οὖν κυβερνήτην θαυμάζομεν οὐχ ὅταν ἡσυχαζούσης τῆς θαλάττης καὶ οὐρίων τῆς νηὸς φερομένης δυνηθῇ τοὺς ἐμπλέοντας διασῶσαι· ἀλλ' ὅταν μαινομένου τοῦ πελάγους, διανισταμένων τῶν κυμάτων, αὐτῶν τῶν ἔνδον ἐπιβατῶν στασιαζόντων, πολλοῦ χειμῶνος ἔσωθεν ἔξωθεν τοὺς ἐμπλέοντας πολιορκοῦντος δυνηθῇ κατευθῦναι τὸ σκάφος μετὰ ἀσφαλείας ἁπάσης· οὕτω καὶ τοὺς τότε τὴν ἐκκλησίαν ἐγχειρισθέντας ἐκπλήττεσθαι χρὴ καὶ θαυμάζειν πολλῷ πλέον τῶν νῦν οἰκονομούντων αὐτὴν, ὅτε πολὺς ὁ πόλεμος ἔξωθεν ἔσωθεν· ὅτε ἁπαλώτερον ἔτι τὸ φυτὸν τῆς πίστεως ἦν πολλῆς δεόμενον ἐπιμελείας, ὅτε καθάπερ ἀρτίτοκον βρέφος τὸ τῆς ἐκκλησίας πλῆθος πολλῆς ἔχρῃζε τῆς προνοίας, καὶ σοφωτάτης τινὸς τῆς μελλούσης αὐτὸ τιθηνεῖσθαι ψυχῆς. καὶ ἵνα σαφέστερον μάθητε, ὅσων ἦσαν ἄξιοι στεφάνων οἱ τότε τὴν ἐκκλησίαν ἐμπιστευθέντες, καὶ ὅσος πόνος καὶ κίνδυνος ἐν προοιμίοις καὶ ἀρχῇ πρᾶγμα ἀναδέξασθαι, καὶ πρῶτος ἐλθεῖν ἐπ' αὐτῷ, τοῦ Χριστοῦ παράγω

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-597310-p0029-8

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-597310-p0030-9

μαρτυρίαν ὑμῖν ψηφιζομένου ταῦτα καὶ τὴν ὑφ' ἡμῶν
εἰρημένην κυροῦντος γνώμην. ἰδὼν γὰρ πολλοὺς πρὸς
αὐτὸν ἐρχομένους, καὶ βουλόμενος δεῖξαι τοῖς ἀποστόλοις,
ὅτι πλέον αὐτῶν ἔκαμον οἱ προφῆται φησίν· ἄλλοι κε-
κοπιάκασι, καὶ ὑμεῖς εἰς τὸν κόπον αὐτῶν εἰσεληλύθα-
τε· καίτοι πολλῷ πλείονα τῶν προφητῶν ἔκαμνον
οἱ ἀπόστολοι. ἀλλ' ἐπειδὴ πρότερον ἐκεῖνοι τὸν λόγον τῆς
εὐσεβείας κατέβαλον, καὶ τὰς ψυχὰς τῶν ἀνθρώπων
ἀδιδάκτους οὔσας πρὸς τὴν ἀλήθειαν ἐπεσπάσαντο,
ἐκείνοις τὸ πλέον τοῦ πόνου ψηφίζεται· οὐ γὰρ ἔστιν ἴσον,
οὐκ ἔστι μετὰ πολλοὺς ἑτέρους διδασκάλους ἐλθόντα δι-
δάσκειν, καὶ πρῶτον αὐτὸν καταβάλλειν τὰ σπέρματα.
τὸ μὲν γὰρ ἤδη μελετηθὲν, καὶ ἐν συνηθείᾳ γενόμενον
πολλῶν, εὐπαράδεκτον ἂν ῥαδίως γένοιτο· τὸ δὲ νῦν
πρῶτον ἀκουόμενον θορυβεῖ τὴν διάνοιαν τῶν ἀκροατῶν,
καὶ πολλὰ τοῖς διδάσκουσι παρέχει πράγματα. τοῦτο
γοῦν καὶ ἐν Ἀθήναις ἐθορύβει τοὺς ἀκούοντας, καὶ διὰ
τοῦτο ἀπεστρέφοντο Παῦλον, ἐγκαλοῦντες, ὅτι ξενίζον-
τά τινα εἰσφέρεις εἰς τὰς ἀκοὰς ἡμῶν. εἰ γὰρ νῦν κά-
ματον καὶ πόνον πολὺν ἐκκλησίας προστασία παρέ-
χει τοῖς κυβερνῶσιν αὐτὴν, ἐννόησον πῶς διπλοῦς, καὶ
τριπλοῦς, καὶ πολλαπλασίων ἦν τότε ὁ πόνος, ὅτε κίν-
δυνος, καὶ μάχαι, καὶ ἐπιβουλαὶ, καὶ φόβος διηνε-
κής.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-597310-p0031-5

κῆς. οὐκ ἔστιν οὐκ ἔστι παραστῆσαι τῷ λόγῳ τὴν δυσκολίαν, ἣν ὑπέμενον οἱ ἅγιοι τότε ἐκεῖνοι· ἀλλ' οὗτος αὐτὴν εἴσεται μόνος ὁ διὰ τῆς πείρας αὐτῆς ἐλθών. εἶπω καὶ τέταρτον στέφανον ἐκ τῆς ἐπισκοπῆς ἡμῖν ἀνίσχοντα ταύτης; τίς οὖν ἐστιν οὗτος; τὸ τὴν πατρίδα αὐτὸν ἐπιτραπῆναι τὴν ἡμετέραν. ἐπίπονον μὲν γὰρ καὶ ἑκατὸν ἀνδρῶν καὶ πεντήκοντα προστῆναι μόνον· τὸ δὲ πόλιν ἐγχειρισθῆναι τοσαύτην, καὶ δῆμον εἰς εἴκοσι ἐκτεινόμενον μυριάδας πόσης ἀρετῆς οἴει καὶ σοφίας ἀπόδειξιν εἶναι; καὶ γὰρ ὥσπερ ἐπὶ τῶν στρατοπέδων τὰς βασιλικωτέρας φάλαγγας, καὶ πληθούσας μᾶλλον οἱ σοφώτεροι τῶν στρατηγῶν ἐγχειρίζονται· οὕτω δὴ καὶ ἐπὶ τῶν πόλεων τὰς μείζοις, καὶ πολυανθρώποις οἱ δοκιμώτεροι τῶν ἀρχόντων ἐμπιστεύονται. καὶ ἄλλως δὲ πολὺς ἦν τῆς πόλεως ταύτης τῷ θεῷ λόγος, ὡς καὶ διὰ τῶν ἔργων αὐτῶν ἐδήλωσε· τὸν γοῦν τῆς οἰκουμένης ἐπιστάτην ἁπάσης Πέτρον, ᾧ τὰς κλεῖς ἐνεχείρισε τῶν οὐρανῶν, ᾧ πάντα ἄγειν καὶ φέρειν ἐπέτρεψε, πολὺν ἐνταῦθα χρόνον ἐνδιατρίψαι ἐκέλευσεν· οὕτως αὐτῷ τῆς οἰκουμένης ἁπάσης ἡ πόλις ἀντίρροπος ἡ ἡμετέρα. ἐπειδὴ δὲ ἐμνήσθην Πέτρου, καὶ πέμπτον ἐξ αὐτοῦ στέφανον εἶδον πλεκόμενον· οὗτος δέ ἐστι τὸ μετ' ἐκεῖνον τοῦτον διαδέξασθαι τὴν ἀρχήν. ὥσπερ γὰρ ἄν τις λίθον ἐξαίρων

μέγαν

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-597310-p0033-6

μέγαν ἐκ θεμελίων ἕτερον ἀντίῤῥοπον ἐκείνου σπουδάζει
πάντως ἀντεισαγαγεῖν, εἰ μὴ μέλλοι πᾶσαν σαλεύειν
τὴν οἰκοδομὴν, καὶ σαθροτέραν ποιεῖν, οὕτω δὴ καὶ Πέτρου
μέλλοντος ἐντεῦθεν ἀποδημεῖν ἕτερον ἀντίῤῥοπον Πέ-
τρου διδάσκαλον ἡ τοῦ πνεύματος ἀντεισήγαγε χά-
ρις, ὥστε μὴ τὴν ἤδη γενομένην οἰκοδομὴν τῇ τοῦ διαδε-
ξαμένου εὐτελείᾳ σαθροτέραν γενέσθαι. πέντε μὲν οὖν
στεφάνους ἀπηριθμησάμεθα ἀπὸ τοῦ μεγέθους τῆς ἀρ-
χῆς, ἀπὸ τῆς ἀξίας τῶν κεχειροτονηκότων, ἀπὸ τῆς τοῦ
καιροῦ δυσκολίας, ἀπὸ τοῦ μεγέθους τῆς πόλεως, ἀπὸ τῆς
ἀρετῆς τοῦ παραδόντος αὐτῷ τὴν ἐπισκοπήν. τούτους
ἅπαντας πλέξαντας ἔνην καὶ ἕκτον εἰπεῖν, καὶ ἕβδομον,
καὶ πλείω τούτων· ἀλλ' ἵνα μὴ τὸν ἅπαντα χρόνον εἰς
τὸν περὶ τῆς ἐπισκοπῆς ἀναλώσαντες λόγον ἐκπέσω-
μεν τῶν περὶ τοῦ μάρτυρος διηγημάτων, φέρε λοι-
πὸν ἐπὶ τὸν ἆθλον ἐκεῖνον ἴωμεν. πόλεμος ἀνεῤῥιπί-
σθη ποτὲ χαλεπὸς κατὰ τῶν ἐκκλησιῶν, καὶ καθάπερ
τυραννίδος χαλεπωτάτης τὴν γῆν καταλαβούσης ἐκ
μέσης ἀνηρπάζοντο τῆς ἀγορᾶς ἅπαντες, ἄτοπον μὲν
οὐδὲν ἐγκαλούμενοι, ὅτι δὲ τῆς πλάνης ἀπαλλαγέντες
πρὸς τὴν εὐσέβειαν ἔδραμον· ὅτι τῆς τῶν δαιμόνων θρη-
σκείας ἀπέστησαν· ὅτι τὸν ἀληθινὸν θεὸν ἐπέγνωσαν, καὶ
τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ προσεκύνησαν, καὶ ὑπὲρ
ὧν

ὧν στεφανοῦσθαι αὐτοὺς ἐχρῆν, καὶ θαυμάζεσθαι καὶ τι-
μᾶσθαι ὑπὲρ τούτων ἐκολάζοντο, καὶ μυρίοις περιην-
τλοῦντο δεινοῖς πάντες οἱ τὴν πίστιν παραδεξάμενοι·
πολλῷ δὲ πλέον οἱ τῶν ἐκκλησιῶν προεστῶτες. ὁ γὰρ
διάβολος πανοῦργος ὤν, καὶ δεινὸς τὰς τοιαύτας
ῥάπτειν ἐπιβουλὰς προσεδόκησεν, ὅτι τοὺς ποιμένας
ἐὰν ἀφέλῃ, τὰ ποίμνια ῥαδίως διασπάσαι δυνήσεται.
ἀλλ' ὁ δρασσόμενος τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ
αὐτῶν βουλόμενος αὐτῷ δεῖξαι, ὅτι οὐκ ἄνθρωποι τὰς
αὐτοῦ κυβερνῶσιν ἐκκλησίας· ἀλλ' αὐτός ἐστιν ὁ παν-
ταχοῦ ποιμαίνων τοὺς πιστεύοντας εἰς αὐτὸν, συνεχώ-
ρησε τοῦτο γενέσθαι· ἵν' ὅταν ἀφαιρεθέντων ἐκείνων
ἴδῃ τὰ τῆς εὐσεβείας οὐκ ἐλαττούμενα, οὐδὲ σβεννύμε-
νον τὸν τοῦ κηρύγματος λόγον, ἀλλ' αὐξόμενον μᾶλ-
λον μάθῃ διὰ τῶν ἔργων αὐτῶν καὶ αὐτὸς, καὶ οἱ
ταῦτα αὐτῷ διακονούμενοι πάντες, ὅτι οὐκ ἀνθρώπι-
να τὰ καθ' ἡμᾶς, ἀλλ' ἄνωθεν ἐκ τῶν οὐρανῶν ἔχει τὴν
ῥίζαν ἡμῖν ἡ τῆς διδασκαλίας ὑπόθεσις, καὶ θεός ἐστιν ὁ
πανταχοῦ τὰς ἐκκλησίας ἄγων, καὶ ὅτι τὸν θεὸν πολεμοῦν-
τα οὐκ ἔνι περιγενέσθαι ποτέ. οὐ τοῦτο δὲ ἐκακούργη-
σεν ὁ διάβολος μόνον, ἀλλὰ καὶ ἕτερον οὐκ ἔλαττον
τούτου. οὐ γὰρ ἐν ταῖς πόλεσιν, ὧν προειστήκεισαν, ἠφίει
σφάττεσθαι τοὺς ἐπισκόπους, ἀλλ' εἰς τὴν ἀλλοδαπίαν

ἄγων

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-597310-p0037-9

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-597310-p0038-5

ἄγων ἀνῄρει· ἐποίει δὲ τοῦτο ὁμοῦ μὲν ἐρήμους τῶν ἐπιτηδείων λαβεῖν σπεύδων, ὁμοῦ δὲ ἀσθενεστέρους ἐργάζεσθαι τῷ μόχθῳ τῆς ὁδοιπορίας ἐλπίζων· ὃ δὴ καὶ ἐπὶ τοῦ μακαρίου τούτου πεποίηκεν. ἀπὸ γὰρ τῆς ἡμετέρας πόλεως εἰς τὴν Ῥώμην αὐτὸν ἐκάλεσεν μακροτέρους αὐτῷ τιθεὶς τοὺς διαύλους τοῦ δρόμου, καὶ τῷ μήκει τῆς ὁδοῦ, καὶ τῷ πλήθει τῶν ἡμερῶν τὸ φρόνημα καταβάλλειν αὐτοῦ προσδοκῶν· οὐκ εἰδὼς ὅτι συνέμπορον ἔχων Ἰησοῦν, καὶ συναπόδημον τῆς τοσαύτης ὁδοιπορίας ἰσχυρότερος μᾶλλον ἐγίνετο, καὶ τῆς μετ᾽ αὐτοῦ δυνάμεως οὔσης πλείονα παρεῖχε τὴν ἀπόδειξιν, καὶ τὰς ἐκκλησίας συνεκρότει μειζόνως. αἱ γὰρ κατὰ τὴν ὁδὸν πόλεις συντρέχουσαι πάντοθεν ἤλειφον τὸν ἀθλητήν, καὶ μετὰ πολλῶν παρέπεμπον τῶν ἐφοδίων εὐχαῖς, καὶ πρεσβείαις αὐτῷ συναγωνιζόμεναι. καὶ αὐταὶ δὲ οὐ τὴν τυχοῦσαν παράκλησιν ἐλάμβανον, μετὰ προθυμίας τοσαύτης ἐπὶ θάνατον τρέχοντα ὁρῶσαι τὸν μάρτυρα, μεθ᾽ ὅσης εἰκὸς ἦν τὸν ἐπὶ βασίλεια καλούμενον τὰ ἐν οὐρανῷ, καὶ διὰ τῶν ἔργων ἐμάνθανον αὐτῶν διὰ τῆς τοῦ γενναίου προθυμίας ἐκείνου, καὶ φαιδρότητος, ὅτι οὐ θάνατος ἦν ἐφ᾽ ὃν ἔτρεχεν, ἀλλ᾽ ἀποδημία τις καὶ μετάστασις, καὶ πρὸς τὸν οὐρανὸν ἀνάβασις. καὶ ταῦτα διδάσκων κατὰ πᾶσαν πόλιν ἀπῄει διὰ τῶν λόγων,

διὰ τῶν πραγμάτων αὐτῶν, καὶ ὅπερ ἐπὶ τῶν Ἰουδαίων συνέβη, ὅτε τὸν Παῦλον δήσαντες, καὶ εἰς τὴν Ῥώμην ἀποστείλαντες ἐνόμιζον μὲν ἐπὶ θάνατον πέμπειν· ἔπεμπον δὲ τοῖς ἐκεῖ κατοικοῦσιν Ἰουδαίοις διδάσκαλον· τοῦτο δὴ καὶ ἐπὶ τοῦ Ἰγνατίου γέγονε μετὰ περιουσίας τινός. οὐδὲ γὰρ τοῖς τὴν Ῥώμην οἰκοῦσι μόνοις, ἀλλὰ καὶ ταῖς ἐν τῷ μέσῳ κειμέναις πόλεσιν ἁπάσαις διδάσκαλος ἀπῄει θαυμάσιος, πείθων καταφρονεῖν τῆς παρούσης ζωῆς, καὶ μηδὲν ἡγεῖσθαι τὰ βλεπόμενα, καὶ τῶν μελλόντων ἐρᾶν, καὶ πρὸς τὸν οὐρανὸν βλέπειν, καὶ πρὸς μηδὲν τῶν ἐν τῷ παρόντι βίῳ δεινῶν ἐπιστρέφεσθαι. ταῦτα γὰρ καὶ τὰ τούτων πλείονα διὰ τῶν ἔργων αὐτοὺς παιδεύων ὥδευε καθάπερ ἥλιός τις ἐξ ἀνατολῆς ἀνίσχων, καὶ πρὸς τὴν δύσιν τρέχων. μᾶλλον δὲ καὶ τούτου φαιδρότερος. οὗτος μὲν γὰρ ἄνωθεν ἔξεχεν αἰσθητὸν ἄγων φῶς· Ἰγνάτιος δὲ κάτωθεν ἀντέλαμπεμ νοητὸμ φῶς διδασκαλίας ταῖς ψυχαῖς ἐνιείς· κἀκεῖνος μὲμ εἰς τὰ τῆς δύσεως ἀπιὼν μέρη κρύπτεται καὶ νύκτα εὐθέως ἐπάγει· οὗτος δὲ εἰς τὰ τῆς δύσεως ἀπελθὼν μέρη φαιδρότερον ἐκεῖθεμ ἀνέτειλε, καὶ τοὺς κατὰ τὴν ὁδὸν ἅπαντας εὐεργετήσας τὰ μέγιστα. ἐπειδὴ δὲ τῆς πόλεως ἐπέβη κἀκείνην φιλοσοφεῖμ ἐπαίδευσε· διὰ γὰρ τοῦτο καὶ ὁ θεὸς συνεχώρησεν ἐκεῖ τὸμ βίομ αὐτὸμ καταλῦ-

σαι,

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-597310-p0041-0

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-597310-p0042-6

σαι, ὥστε τὴν τούτου τελευτὴν διδασκάλιον γενέσθαι εὐσεβείας τοῖς τὴν Ῥώμην οἰκοῦσιν ἅπασιν. ὑμεῖς μὲν γὰρ τῇ τοῦ θεοῦ χάριτι οὐδεμιᾶς ἐδέεσθε λοιπὸν ἀποδείξεως ἐρριζωμένοι κατὰ τὴν πίστιν· οἱ δὲ τὴν Ῥώμην οἰκοῦντες, ἅτε πολλῆς τότε ἀσεβείας οὔσης ἐκεῖ, πλείονος ἐχρῇζον βοηθείας· διὰ τοῦτο καὶ Πέτρος καὶ Παῦλος, καὶ μετ' ἐκείνους οὗτος ἐκεῖ πάντες ἐτύθησαν· τοῦτο μὲν ἵνα μολυνθεῖσαν τὴν πόλιν τοῖς τῶν εἰδώλων αἵμασι τοῖς οἰκείοις αἵμασιν ἐκκαθαίρωσι· τοῦτο δὲ ἵνα τῆς ἀναστάσεως τοῦ σταυρωθέντος Χριστοῦ διὰ τῶν ἔργων παράσχωνται τὴν ἀπόδειξιν, πείσαντες τοὺς τὴν Ῥώμην οἰκοῦντας ὡς οὐκ ἂν μετὰ τοσαύτης ἡδονῆς τῆς παρούσης κατεφρόνησαν ζωῆς, εἰ μὴ σφόδρα ἦσαν πεπεικότες ἑαυτούς, ὅτι πρὸς τὸν ἐσταυρωμένον ἔμελλον ἀναβαίνειν Ἰησοῦν, καὶ ἐν τοῖς οὐρανοῖς αὐτὸν ὄψεσθαι. μεγίστη γὰρ ὄντως ἀναστάσεως ἀπόδειξις τὸ τὸν σφαγέντα Χριστὸν τοσαύτην μετὰ θάνατον ἐπιδείξασθαι δύναμιν, ὡς τοὺς ζῶντας ἀνθρώπους πεῖσαι καὶ πατρίδος, καὶ οἰκίας, καὶ φίλων, καὶ συγγενῶν, καὶ αὐτῆς ὑπεριδεῖν τῆς ζωῆς ὑπὲρ τῆς εἰς αὐτὸν ὁμολογίας, καὶ μάστιγας, καὶ κινδύνους, καὶ θάνατον, ἀντὶ τῶν παρόντων ἡδέων ἑλέσθαι. ταῦτα γὰρ οὐχὶ νεκροῦ τινος, οὐδὲ ἐπὶ τῷ τάφῳ μείναντος, ἀλλ' ἀναστάντος

καὶ ζῶντος ἦν τὰ κατορθώματα. ἐπεὶ πῶς ἂν ἔχοι λόγον, ἡνίκα μὲν ἔζη τοὺς συνόντας αὐτῷ πάντας ἀποστόλους ἀπὸ τοῦ φόβου γενομένους ἀσθενεστέρους προδοῦναι τὸν διδάσκαλον, καὶ φεύγοντας ἀπελθεῖν. ἐπειδὴ δὲ ἐτελεύτησεν, μὴ μόνον Πέτρον καὶ Παῦλον, ἀλλὰ καὶ Ἰγνάτιον τὸν οὐδὲ ἑωρακότα αὐτὸν, οὐδὲ ἀπολελαυκότα αὐτοῦ τῆς συνουσίας τοσαύτην ὑπὲρ αὐτοῦ προθυμίαν ἐπιδείξασθαι, ὡς καὶ αὐτὴν δι' αὐτὸν ἐπιδοῦναι τὴν ψυχήν; ἵν' οὖν ταῦτα ἔργῳ μάθωσιν οἱ τὴν Ῥώμην οἰκοῦντες, ἅπαντας συνεχώρησεν ὁ θεὸς ἐκεῖ τελειωθῆναι τὸν ἅγιον. καὶ ὅτι αὕτη ἐστὶν ἡ αἰτία ἐξ αὐτοῦ τοῦ τρόπου τῆς τελευτῆς τούτου πιστώσομαι. οὐ γὰρ ἔξω τειχῶν ἐν βαράθρῳ, οὐδὲ ἐν δικαστηρίῳ, οὐδὲ ἐν γωνίᾳ τινὶ τὴν καταδικάζουσαν ἐδέξατο ψῆφον, ἀλλ' ἐν μέσῳ τῷ θεάτρῳ τῆς πόλεως ἄνω καθεζομένης ἁπάσης τὸν τοῦ μαρτυρίου τρόπον ὑπέμεινε θηρίων ἐπ' αὐτὸν ἀφεθέντων· ἵν' ὑπὸ ταῖς ἁπάντων ὄψεσι τὸ τρόπαιον στήσας κατὰ τοῦ διαβόλου τοὺς θεατὰς ἅπαντας ζηλωτὰς ποιήσῃ τῶν ἀγωνισμάτων τῶν ἑαυτοῦ, οὐκ ἀποθνήσκων μόνον οὕτω γενναίως, ἀλλὰ καὶ μεθ' ἡδονῆς ἀποθνήσκων. οὐ γὰρ ὡς ζωῆς ἀποῤῥήγνυσθαι μέλλων, ἀλλ' ὡς ἐπὶ ζωὴν καλούμενος βελτίω καὶ πνευματικωτέραν οὕτως ἀσμένως ἑώρα τὰ θηρία. πόθεν τοῦτο δῆλον; ἀπὸ τῶν

ῥημάτων,

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-597310-p0045-3

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-597310-p0046-9

ῥημάτων, ὧν ἀποθνήσκειν μέλλων ἐφθέγξατο. ἀκούσας γὰρ ὅτι οὗτος αὐτὸν τῆς τιμωρίας ὁ τρόπος μένει, ἐγὼ τῶν θηρίων ἐκείνων ὀναίμην ἔλεγεν· τοιοῦτοι γὰρ οἱ ἐρῶντες· ὅπερ ἂν πάσχωσιν ὑπὲρ τῶν ἐρωμένων, μεθ᾽ ἡδονῆς δέχονται, καὶ τότε δοκοῦσιν ἐμφορεῖσθαι τῆς ἐπιθυμίας, ὅταν πολλῷ χαλεπώτερα ᾖ τὰ γινόμενα, ὅπερ οὖν καὶ ἐπὶ τούτου συνέβαινεν· οὐ γὰρ τῷ θανάτῳ μόνον, ἀλλὰ καὶ τῇ προθυμίᾳ ζηλῶσαι τοὺς ἀποστόλους ἔσπευδε, καὶ ἀκούων ὅτι μαστιχθέντες ἐκεῖνοι μετὰ χαρᾶς ἀνεχώρουν, ἐβουλήθη καὶ αὐτὸς μὴ τῇ τελευτῇ μόνον, ἀλλὰ καὶ τῇ χαρᾷ μιμήσασθαι τοὺς διδασκάλους. διὰ τοῦτο τῶν θηρίων ἔλεγεν ὀναίμην, καὶ πολλῷ τούτων ἡμερώτερα τὰ στόματα ἐνόμιζεν εἶναι τῆς τοῦ τυράννου γλώττης, καὶ μάλα εἰκότως. ἐκείνη μὲν γὰρ πρὸς τὴν γέενναν ἐκάλει· τὰ δὲ τούτων στόματα πρὸς βασιλείαν παρέπεμπεν. ἐπειδὴ τοίνυν κατέλυσεν ἐκεῖ τὴν ζωὴν, μᾶλλον δὲ ἐπειδὴ πρὸς τὸν οὐρανὸν ἀνέβη, ἐπανῄει στεφανίτης λοιπόν. καὶ γὰρ καὶ τοῦτο τῆς τοῦ θεοῦ γέγονεν οἰκονομίας τὸ πάλιν αὐτὸν πρὸς ἡμᾶς ἐπαναγαγεῖν, καὶ ταῖς πόλεσι διανεῖμαι τὸν μάρτυρα. ἐκείνη μὲν γὰρ αὐτοῦ στάζον τὸ αἷμα ἐδέξατο, ὑμεῖς δὲ τῷ λειψάνῳ τετίμησθε· ἀπηλαύσατε τῆς ἐπισκοπῆς ὑμεῖς, ἀπήλαυσαν ἐκεῖνοι τοῦ μαρτυρίου·

εἴδομεν ἀγωνιζόμενον καὶ νικῶντα καὶ στεφανούμενον ἐκεῖνοι, ἔχετε διηνεκῶς αὐτὸν ὑμεῖς· ὀλίγον ὑμῶν αὐτὸν χρόνον ἀπέστησεν ὁ θεός, καὶ μετὰ πλείονος ὑμῖν δόξης αὐτὸν ἐχαρίσατο. καὶ καθάπερ οἱ δανειζόμενοι χρήματα μετὰ τόκων ἀποδιδῶσιν ἅπερ ἂν λάβωσιν, οὕτω καὶ ὁ θεὸς τὸν τίμιον τοῦτον θησαυρὸν παρ' ὑμῶν ὀλίγον χρησάμενος χρόνον, καὶ τῇ πόλει δείξας ἐκείνῃ, μετὰ πλείονος ὑμῖν αὐτὸν ἀποδέδωκε τῆς λαμπρότητος. ἐξεπέμψατε γὰρ ἐπίσκοπον, καὶ ἐδέξασθε μάρτυρα· ἐξεπέμψατε μετ' εὐχῶν, καὶ ἐδέξασθε μετὰ στεφάνων· καὶ οὐχ ὑμεῖς μόνον, ἀλλὰ καὶ πᾶσαι αἱ ἐν μέσῳ πόλεις. πῶς γὰρ αὐτὰς οἴεσθε διακεῖσθαι ὁρώσας ἐπαναγόμενον τὸ λείψανον; πόσην καρποῦσθαι ἡδονήν, πόσον ἀγάλλεσθαι; πόσαις εὐφημίαις πάντοθεν βάλλειν τὸν στεφανίτην; καθάπερ γὰρ ἀθλητὴν γενναῖον τοὺς ἀνταγωνιστὰς καταπαλαίσαντα ἅπαντας, καὶ μετὰ λαμπρᾶς ἐξελθόντα δόξης ἀπὸ τοῦ σκάμματος εὐθέως δεχόμενοι οἱ θεαταί, οὐδὲ ἐπιβῆναι τῆς γῆς ἀφιᾶσι φοράδην ἀπάγοντες οἴκαδε καὶ μυρίοις βάλλοντες ἐγκωμίοις, οὕτω δὴ καὶ τὸν ἅγιον τότε ἐκεῖνον ἀπὸ τῆς Ῥώμης αἱ πόλεις ἑξῆς διαδεχόμεναι, καὶ ἐπ' ὤμων φέρουσαι μέχρι τῆς πόλεως ταύτης παρέπεμπον ἐγκωμιάζουσαι τὸν στεφανίτην, ἀνυμνοῦσαι τὸν ἀγωνοθέτην, καταγε-

λῶσαι

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-597310-p0049-9

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-597310-p0050-0
DFG

λῦσαι τοῦ διαβόλου, ὅτι εἰς τὸ ἐναντίον αὐτῷ περιέτρεπε τὸ σόφισμα, καὶ ὅπερ ἐνόμισε κατὰ τοῦ μάρτυρος ποιεῖν, τοῦτο ὑπὲρ αὐτοῦ γέγονε· καὶ τότε μὲν τὰς πόλεις ἁπάσας ἐκείνας ὤνησε, καὶ ἀνώρθωσεν· ἐξ ἐκείνου δὲ καὶ μέχρι τῆς παρούσης τὴν ὑμετέραν πλουτίζει πόλιν· καὶ καθάπερ θησαυρὸς διηνεκὴς καθ' ἑκάστην ἀντλούμενος τὴν ἡμέραν, καὶ οὐκ ἐπιλείπων ἅπαντας τοὺς μετέχοντας εὐπορωτέρους ποιεῖ· οὕτω δὴ καὶ ὁ μακάριος οὗτος Ἰγνάτιος τοὺς πρὸς αὐτὸν ἐρχομένους εὐλογιῶν, παρρησίας, γενναίου φρονήματος, καὶ πολλῆς ἀνδρείας πληρῶν οἴκαδε ἀποπέμπει. μὴ τοίνυν σήμερον μόνον, ἀλλὰ καὶ καθ' ἑκάστην ἡμέραν πρὸς αὐτὸν βαδίζωμεν πνευματικοὺς ἐξ αὐτοῦ δρεπόμενοι καρπούς. ἔστι γάρ, ἔστι τὸν μετὰ πίστεως ἐνταῦθα παραγινόμενον μεγάλα καρπώσασθαι ἀγαθά. οὐδὲ γὰρ τὰ σώματα μόνον, ἀλλὰ καὶ αὐταὶ αἱ θῆκαι τῶν ἁγίων πνευματικῆς εἰσὶ πεπληρωμέναι χάριτος. εἰ γὰρ ἐπὶ Ἐλισσαίου τοῦτο συνέβαινε, καὶ θήκης νεκρὸς ἁψάμενος τοῦ θανάτου τὰ δεσμὰ διέῤῥηξε, καὶ πρὸς ζωὴν ἐπανῆλθε πάλιν, πολλῷ μᾶλλον νῦν ὅτε δαψιλεστέρα ἡ χάρις· ὅτε πλείων ἡ τοῦ πνεύματος ἐνέργειά ἐστι, καὶ θήκης μετὰ πίστεως ἁψάμενον πολλὴν ἐκεῖθεν ἐπισπάσασθαι δύναμιν. διὰ τοῦτο καὶ τὰ λείψανα τῶν ἁγίων εἴασεν ἡμῖν ὁ θεός, βουλόμενος

ἡμᾶς πρὸς τὸν αὐτὸν ἐκείνοις χειραγωγῆσαι ζῆλον, καὶ λιμένα τινὰ παρασχεῖν καὶ παραμύθιον ἀσφαλὲς τῶν ἀεὶ καταλαμβανόντων ἡμᾶς κακῶν. διὸ παρακαλῶ πάντας ὑμᾶς εἴ τε ἐν ἀθυμίᾳ τίς ἐστιν, εἴ τε ἐν νόσοις, εἴ τε ἐν ἐπηρείαις, εἴ τε ἐν ἄλλῃ τινὶ βιωτικῇ περιστάσει, εἴ τε ἐν ἁμαρτιῶν βάθει μετὰ πίστεως ἐνταῦθα παραγινέσθω, καὶ πάντα ἐκεῖνα ἀποθήσεται, καὶ μετὰ πολλῆς ἐπανήξει τῆς ἡδονῆς κουφότερον τὸ συνειδὸς ἐργασάμενος ἀπὸ τῆς θεωρίας μόνης· μᾶλλον δὲ οὐ τοὺς ἐν δεινοῖς ὄντας μόνον ἀναγκαῖον ἐνταῦθα παραγίνεσθαι, ἀλλὰ κἂν ἐν εὐθυμίᾳ τίς ᾖ, κἂν ἐν δόξῃ, κἂν ἐν δυναστείᾳ, κἂν ἐν παῤῥησίᾳ πολλῇ τῇ πρὸς θεὸν, μηδὲ οὗτος καταφρονείτω τῆς ὠφελείας. ἐλθὼν γὰρ ἐνταῦθα καὶ τὸν ἅγιον ἰδὼν τοῦτον ἀκίνητα ἕξει τὰ καλὰ, τῇ μνήμῃ τῶν τούτου κατορθωμάτων μετριάζειν τὴν αὐτοῦ ψυχὴν ἀναπείσας, καὶ οὐκ ἀφιεὶς τὸ συνειδὸς ὑπὸ τῶν κατορθωμάτων πρὸς ὄγκον ἐπαρθῆναί τινα. οὐ μικρὸν δὲ τοῖς ἐν εὐπραγίαις τὸ μὴ φυσᾶσθαι ἐπὶ ταῖς εὐημερίαις, ἀλλ' εἰδέναι μετρίως φέρειν τὰς εὐπραγίας, ὥστε ἅπασι χρήσιμος ὁ θησαυρὸς, ἐπιτήδειον τὸ καταγώγιον, τοῖς μὲν ἐπταικόσιν, ἵνα ἀπαλλαγῶσι τῶν πειρασμῶν· τοῖς δὲ εὐημεροῦσιν, ἵνα βέβαια αὐτοῖς μένῃ τὰ καλά· τοῖς μὲν

ἐν

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-597310-p0053-7

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-597310-p0054-3

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-597310-p0055-9

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-597310-p0056-4

ἐν ἀῤῥωστίᾳ, ἵνα πρὸς ὑγίειαν ἐπανέλθωσι· τοῖς δὲ ὑγιαίνουσιν, ἵνα μὴ πρὸς ἀῤῥωστίαν καταπέσωσιν. ἅπερ ἅπαντα λογιζόμενοι πάσης τέρψεως, πάσης ἡδονῆς τὴν ἐνταῦθα προτιμῶμεν διατελεῖν· ἵν᾽ ὁμοῦ καὶ εὐφραινόμενοι καὶ κερδαίνοντες, καὶ ἐκεῖ σύσκηνοι τοῖς ἁγίοις τούτοις καὶ ὁμοδίαιτοι γενέσθαι δυνηθῶμεν εὐχαῖς αὐτῶν τῶν ἁγίων· χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ᾽ οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα
τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς
τοὺς αἰῶνας τῶν αἰώνων·
ἀμήν.

# ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ

## ΙΕΡΟΜΑΡΤΥΡΑ ΒΑΒΥΛΑΝ.

Ἐγὼ μὲν ἐβουλόμην ἀποδοῦναι τὸ χρέος τήμερον, ὃ πρώην ἐνταῦθα γενόμενος ὑπεσχόμην ὑμῖν· ἀλλὰ τί πάθω; μεταξὺ φανεὶς ὁ μακάριος Βαβύλας, πρὸς ἑαυτὸν ἡμᾶς ἐκάλεσεν, οὐ φωνὴν ἀφιείς, ἀλλὰ τῇ λαμπηδόνι τῆς ὄψεως ἐπιστρέψας ἡμᾶς. μὴ τοίνυν δυσχεράνητε πρὸς τὴν ὑπέρθεσιν τῆς ἀποδόσεως· πάντως ὅσῳ πλείων γίνεται ὁ χρόνος, τοσούτῳ καὶ ὁ τόκος ὑμῖν αὔξεται. μετὰ γὰρ τόκου τὸ ἀργύριον τοῦτο καταβαλοῦμεθα· ἐπειδὴ καὶ ὁ παρακαταθέμενος αὐτὸ δεσπότης οὕτως ἐκέλευσεν. θαῤῥοῦντες οὖν ὑπὲρ τῶν δεδανεισμένων, ὡς καὶ τοῦ κεφαλαίου, καὶ τῆς ἐργασίας μενόντων ἡμῖν, τὸ παρεμπεσὸν σήμερον κέρδος μὴ παραδράμωμεν, ἀλλὰ κατατρυφήσωμεν τῶν τοῦ μακαρίου Βαβύλα κατορθωμάτων. ὅπως μὲν οὖν τῆς ἐκκλησίας προέστη τῆς παρ' ἡμῖν, καὶ τὴν ἱερὰν ταύτην διέσωσε ναῦν, ἐν χειμῶσι, καὶ κλύδωνι, καὶ κύμασι, καὶ ἔστην πρὸς βασιλέα

παῤῥη-

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-597310-p0059-4
DFG

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-597310-p0060-6

παῤῥησίαν ἐπεδείξατο, καὶ πῶς τὴν ψυχὴν ἔθηκεν
ὑπὲρ τῶν προβάτων, καὶ τὴν μακαρίαν ἐκείνην
ἐδέξατο σφαγήν· ταῦτα, καὶ τὰ τοιαῦτα, τοῖς πρεσβυ-
τέροις τῶν διδασκάλων, καὶ τῷ κοινῷ πατρὶ τῷ ἡμῶν
ἀφήσομεν εἰπεῖν. τὰ γὰρ ἀρχαιότερα τῶν πραγμά-
των, οἱ γεγηρακότες ὑμῖν δύνανται διηγεῖσθαι καλῶς·
ὅσα δὲ νεωστὶ γέγονε, καὶ ἐπὶ τῆς ἡλικίας τῆς ἡμετέρας,
ταῦτα ὁ νέος ἐγὼ πρὸς ὑμᾶς διηγήσομαι, τὰ μετὰ
τελευτὴν λέγω, τὰ μετὰ τὴν ταφὴν τοῦ μάρτυρος, τὰ
ἡνίκα ἐν τῷ προαστείῳ διέτριβε. καὶ οἶδα μὲν, ὅτι γε-
λάσονται τὴν ὑπόσχεσιν ἡμῶν Ἕλληνες, εἰ μετὰ τε-
λευτὴν, καὶ ταφὴν τὰ τοῦ ταφέντος, καὶ διαλυ-
θέντος εἰς κόνιν ὑπισχνούμεθα λέγειν ἀνδραγαθή-
ματα· οὐ μὴν διὰ τοῦτο σιγήσομεν, ἀλλὰ καὶ δι' αὐ-
τὸ τοῦτο μάλιστα ἐροῦμεν· ἵνα τὸ παράδοξον τοῦτο
δείξαντες ἀληθῶς, τὸν γέλωτα εἰς τὴν ἐκείνων περι-
τρέψωμεν κεφαλήν. ἀνθρώπου μὲν γὰρ ἁπλῶς οὐκ
ἂν γένοιτο κατορθώματα μετὰ τελευτήν· μάρτυρος
δὲ γένοιτ' ἂν πολλὰ, καὶ μεγάλα, οὐχ ἵνα ἐκεῖνος
λαμπρότερος γένηται· οὐδὲν γὰρ αὐτῷ δεῖ τῆς πα-
ρὰ τῶν πολλῶν δόξης· ἀλλ' ἵνα σὺ μάθῃς ὁ ἄπιστος,
ὅτι θάνατος μαρτύρων οὐκ ἔστι θάνατος, ἀλλὰ
ζωῆς βελτίονος ἀρχὴ καὶ πολιτείας πνευματικωτέρας
προοίμια,

προοίμια, καὶ μετάστασις ἀπὸ τῶν ἐλαττόνων πρὸς τὰ
βελτίω. μὴ γὰρ δὴ τοῦτο ἴδῃς ὅτι γυμνὸν τοῦ μάρτυρος
τὸ σῶμα πρόκειται τῆς ψυχικῆς ἐνεργείας ἔρημομ·
ἀλλ' ἐκεῖνο σκόπει, ὅτι τῆς ψυχῆς αὐτοῦ ἑτέρα παρα-
κάθηται μείζων αὐτῷ δύναμις, ἡ τοῦ ἁγίου πνεύματος
χάρις, πᾶσιν ὑπὲρ τῆς ἀναστάσεως ἀπολογουμένη, δι'
ὧν θαυματοποιεῖ. εἰ γὰρ νεκροῖς σώμασι, καὶ διαλυθεῖ-
σιν εἰς κόνιν, μείζονα τῶν ζώντων ἁπάντωμ δύναμιν
ὁ θεὸς ἐχαρίσατο, πολλῷ μᾶλλομ αὐτοῖς ζωὴν χαριεῖ-
ται βελτίω τῆς προτέρας, καὶ μακαριωτέραν κατὰ τὸν
στεφάνωμ καιρόν· τίνα οὖν ἐστιν αὐτοῦ τὰ κατορθώμα-
τα; ἀλλὰ μὴ θορυβηθῆτε, ἂν μικρὸμ ἀνωτέρω τὸμ λό-
γομ ἀγάγωμεν. καὶ γὰρ οἱ τὰς εἰκόνας ἐπιδεῖξαι βου-
λόμενοι καλῶς, μικρὸν τοῦ πινακίσκου τοὺς θεωμένους
ἀποστήσαντες, οὕτως αὐτὰς ἐκκαλύπτουσι σαφεστέραν
τῷ διαστήματι ποιοῦντες τὴν ὄψιν αὐτοῖς. ἀνάσχεσθε
τοίνυν καὶ ὑμεῖς εἰς τοὔπισω τὸν λόγον ἀνελκόντων ἡμῶν.
ἐπειδὴ γὰρ ὁ πάντας ἀσεβείᾳ νικήσας Ἰουλιανός, ἀνέβη
ἐπὶ τὸν θρόνομ τὸμ βασιλικόν, καὶ τῶν σκήπτρωμ ἐπε-
λάβετο τῶν δεσποτικῶμ εὐθέως, καὶ κατὰ τοῦ πεποιη-
κότος αὐτὸν τὰς χεῖρας ἀντῆρε θεοῦ, καὶ τὸν εὐεργέ-
την ἠγνόησε, καὶ κάτωθεν ἀπὸ τῆς γῆς πρὸς τὸμ οὐ-
ρανὸν βλέπων ὑλάκτει κατὰ τοὺς μαινομένους τῶν κυ-

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-597310-p0063-3

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-597310-p0064-9

τῶν, οἳ καὶ τῶν μὴ τρεφόντων, καὶ τῶν τρεφόντων ὁμοίως καταβοῶσι· μᾶλλον δὲ καὶ ἐκείνων ἀγριωτέραν ἐμάνη μανίαν. οἱ μὲν γὰρ καὶ τοὺς οἰκείους, καὶ τοὺς ἀλλοτρίους, ὁμοίως ἀποστρέφονται, καὶ μισοῦσιν· οὗτος δὲ, τοὺς μὲν ἀλλοτρίους τῆς αὐτοῦ σωτηρίας δαίμονας ἔσαινε, καὶ παντὶ θεραπείας ἐθεράπευε τρόπῳ· τὸν δὲ εὐεργέτην, καὶ σωτῆρα, καὶ μηδὲ τοῦ μονογενοῦς φεισάμενον δι' αὐτὸν, ἀπεστράφη, καὶ ἐμίσει, καὶ τὸν σταυρὸν διέσυρε, πρᾶγμα, ὃ τὴν οἰκουμένην ἐπ' ὄψιν κειμένην ἀνέστησε, καὶ τὸ σκότος πάντοθεν ἀπήλασε, καὶ τῶν ἀκτίνων ἡμῖν λαμπρότερον εἰσήγαγε φῶς. καὶ οὐδὲ ἐνταῦθα τῆς μανίας ἵστατο, ἀλλ' ἐκ μέσης ἀναρπάσασθαι τῆς οἰκουμένης τὸ τῶν Γαλιλαίων ἔθνος ἐπηγγέλλετο· καὶ γὰρ οὕτως ἡμᾶς εἰώθει καλεῖν. καίτοι εἰ τὸ ὄνομα τῶν Χριστιανῶν μῦσος εἶναι ἐνόμιζε, καὶ πολλῆς τὸ πρᾶγμα γέμειν αἰσχύνης, τίνος ἕνεκεν οὐκ ἐντεῦθεν ἡμᾶς, ἀλλ' ὀνόματι ξένῳ καταισχύνειν ἐπιθύμει; ἀλλὰ γὰρ ᾔδει σαφῶς, ὅτι τὸ καλεῖσθαι ἀπὸ τῆς πρὸς τὸν Χριστὸν οἰκειώσεως, οὐκ ἀνθρώποις μόνον, ἀλλὰ καὶ ἀγγέλοις, καὶ ταῖς ἀνωτέρω δυνάμεσι μέγας κόσμος ἐστί. διὰ τοῦτο πάντα ἐκίνει, ὥστε τούτου ἡμᾶς ἀποσυλῆσαι τὸν κόσμον, καὶ καταλῦσαι τὸ κήρυγμα. ἀλλὰ τοῦτο ἀμήχανον ἦν ἄθλιε καὶ ταλαίπωρε, ὥσπερ ἀμήχανον

ἦν κατασκάψαι τὸν οὐρανὸν, καὶ σβέσαι τὸν ἥλιον, καὶ τὰ θεμέλια τῆς γῆς διασεῖσαι, καὶ καταβαλεῖν. καὶ ταῦτα προανεφώνησεν ὁ Χριστὸς οὕτως εἰπὼν, ὁ οὐρανὸς, καὶ ἡ γῆ παρελεύσονται· οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσιν. ἀλλ' οὐκ ἀνέχῃ τοῦ Χριστοῦ λέγοντος· οὐκοῦν δέχου τὴν ἀπὸ τῶν πραγμάτων φωνήν. ἐγὼ μὲν γὰρ καταξιωθεὶς εἰδέναι, τί ποτέ ἐστιν ἀπόφασις θεοῦ, πῶς ἰσχυρὸν, καὶ ἄμαχον πρᾶγμα, καὶ τῆς φυσικῆς ἀκολουθίας, καὶ τῆς τῶν πραγμάτων πείρας, πάντων ἀξιοπιστοτέραν ταύτην εἶναι πεπίστευκα. σὺ δὲ ὁ χαμαὶ συρόμενος, καὶ πρὸς λογισμῶν ἐπτοημένος ἐξέτασιν ἀνθρωπίνων, δέχου τὴν ἀπὸ τῶν πραγμάτων μαρτυρίαν. οὐδὲν ἀντιλέγω, οὐδὲ φιλονεικῶ. τί οὖν λέγει τὰ πράγματα; εἶπεν ὁ Χριστὸς, ὅτι τὸν οὐρανὸν, καὶ τὴν γῆν ἀπολέσθαι εὐκολώτερον, ἢ τῶν αὐτοῦ διαπεσεῖν ἕνα λόγων· ἀντεφθέγξατο τούτοις ὁ βασιλεὺς, καὶ ἠπείλησεν ἀναιρήσειν τὰ δόγματα· ποῦ οὖν ὁ βασιλεὺς ὁ ταῦτα ἀπειλήσας; ἀπόλωλε, καὶ διέφθαρται, καὶ νῦν ἐστὶν εἰς ᾅδου τὴν ἀπαραίτητον ἀναμένων κόλασιν. ποῦ δὲ ὁ Χριστὸς, ὁ ἐκεῖνα ἀποφηνάμενος; ἐν οὐρανοῖς, ἐν δεξιᾷ τοῦ πατρὸς τὸν ὑψηλότατον τῆς δόξης κατέχων θρόνον. ποῦ τοῦ βασιλέως τὰ βλάσφημα ῥήματα, καὶ ἡ ἀκόλαστος γλῶττα; τέφρα γέγονε, καὶ κόνις, καὶ

σκωλή-

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-597310-p0067-6

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-597310-p0068-1

σκωλήκων τροφή. ποῦ τοῦ Χριστοῦ ἡ ἀπόφασις; ἀπ' αὐτῆς τῶν πραγμάτων λάμπει τῆς ἀληθείας. ὥσπερ ἀπὸ στήλης χρυσῆς τῆς τῶν ἔργων ἐκβάσεως ἀπαστράπτουσα. καί τοι οὐδὲν τότε παρέλιπεν ὁ βασιλεὺς, τὸν πρὸς ἡμᾶς μέλλων αἴρεσθαι πόλεμον· ἀλλὰ καὶ μάντεις ἐκάλει, καὶ γόητας συνεκρότει, καὶ πάντα ἦν δαιμόνων μεστὰ, καὶ πνευμάτων πονηρῶν. τίνες οὖν αἱ τῆς θεραπείας ταύτης ἀμοιβαί; πόλεων ἀνατροπαὶ, καὶ λιμὸς ἁπάντων λιμῶν ὁ πικρότατος. ἴστε γὰρ δή που, καὶ μέμνησθε, πῶς κενὴ μὲν ἦν ὠνίων ἡ ἀγορὰ, μεστὰ δὲ θορύβων τὰ ἐργαστήρια, ἑκάστου φιλονεικοῦντος τὸ φανὲν προαρπάσαι, καὶ ἀπελθεῖν. καὶ τί λέγω λιμὸν, ὅπου γε, καὶ αὐταὶ τῶν ὑδάτων ἐπιλειπόμεναι αἱ πηγαί, πηγαὶ ποταμοὺς τῇ δαψιλείᾳ τοῦ ῥεύματος ἀποκρύπτουσαι; ἀλλ' ἐπειδὴ πηγῶν ἐμνήσθην, δεῦρο λοιπὸν ἐπὶ τὴν Δάφνην ἀνέλθωμεν, καὶ τὸν λόγον πρὸς τὰ τοῦ μάρτυρος κατορθώματα συνελάσωμεν. καὶ τί γε ἐπιθυμεῖτε τὰς Ἑλληνικὰς ἐκπομπεύειν ἀσχημοσύνας ἐκεῖ, ἀλλ' ὅμως καὶ οὕτως αὐτὸς ὢν ἀπάγωμεν. πάντως γὰρ, ὅπου μαρτύρων μνήμη, ἐκεῖ καὶ Ἑλλήνων αἰσχύνη. οὗτος τοίνυν ὁ βασιλεὺς ἀνιὼν εἰς τὴν Δάφνην συνεχῶς ἠνώχλει τὸν Ἀπόλλωνα δεόμενος, ἱκετεύων, ἀντιβολῶν, ὥστε μαντεύσασθαι τὰ περὶ τῶν μελ-

λόντων

λόντων αὐτῷ. τί οὖν ὁ μάντις ὁ μέγας τῶν Ἑλλήνων
θεός; νεκροί με κωλύουσι φθέγγεσθαι φησίν· ἀλλὰ ἀναῤ-
ῥῆξον τὰς θήκας, ἀνόρυξον τὰ ὀστᾶ, μετάστησον τοὺς
νεκρούς. τί τούτων ἀνοσιώτερον γένοιτ' ἂν τῶν ἐπιτα-
γμάτων; ξένους ὁ δαίμων τυμβωρυχίας εἰσάγει νό-
μους, καὶ καινοὺς ξενηλασίας ἐπινοεῖ τρόπους. τίς ἤκουσε
νεκροὺς ἐλαυνομένους ποτέ; τίς εἶδε σώματα ἄψυχα
κελευόμενα μετανίστασθαι, καθάπερ οὗτος ἐπέ-
ταττε τοὺς κοινοὺς τῆς φύσεως ἐκ βάθρων ἀνατρέπων
νόμους; κοινοὶ γάρ εἰσι τῆς φύσεως νόμοι παρὰ πᾶσιν
ἀνθρώποις, τὸν ἀπελθόντα τῇ γῇ κρύπτεσθαι, καὶ ταφῇ
παραδίδοσθαι, καὶ τοῖς κόλποις τῆς πάντων μητρὸς
περιστέλλεσθαι γῆς. καὶ τούτους οὐχ Ἕλλην, οὐ βάρβα-
ρος, οὐ Σκύθης, οὐκ εἴ τις ἐκείνων ἀγριώτερος ἐκί-
νησε τοὺς νόμους ποτὲ, ἀλλ' αἰδοῦνται, καὶ φυλάττουσιν
ἅπαντες, καὶ οὕτως εἰσὶν ἱεροί, καὶ πᾶσιν αἰδέσιμοι, ἀλλ'
ὁ δαίμων ἐπάρας τὸ προσωπεῖον, γυμνῇ τῇ κεφαλῇ
πρὸς τὰ κοινὰ τῆς φύσεως ἵσταται δόγματα. μίασμα
γάρ φησιν εἰσὶν οἱ νεκροί· οὐχ οἱ νεκροὶ μίασμα πονη-
ρότατε δαῖμον, ἀλλὰ προαίρεσις πονηρὰ μυσός ἐστιν.
εἰ δὲ χρή τι καὶ θαυμαστὸν εἰπεῖν, τὰ τῶν ζώντων μᾶλλον
μετὰ κακίας, ἢ τὰ τῶν τελευτηκότων εἰσὶ σώματα
μιαρά. τὰ μὲν γὰρ διακονεῖται τοῖς τῆς ψυχῆς ἐπι-
τάγμασι·

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-597310-p0071-7

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-597310-p0072-3

τάγμασι· τὰ δὲ, κεῖνται ἀκίνητα· τὸ δὲ ἀκίνητον, καὶ πάσης αἰσθήσεως ἔρημον, καὶ κατηγορίας ἂν εἴη πάσης ἐλεύθερον. πλὴν ἄλλως οὐδὲ τὰ τῶν ζώντων ἔποιμι ἂν ἔγωγε σώματα εἶναι τῇ φύσει μιαρὰ, ἀλλὰ πανταχοῦ τὴν πονηρὰν, καὶ διεστραμμένην προαίρεσιν ταῖς παρὰ πάντων κατηγορίαις εἶναι ὑπεύθυνον. οὐκ ἔστι σῶμα νεκρὸν μίασμα Απολλον, ἀλλὰ τὸ κόρην διώκειν σωφρονεῖν βουλομένην, καὶ σεμνότητα διορύττειν παρθένου, καὶ τῆς ἀναισχύντου πράξεως ἀποτυχόντα θρηνεῖν, τοῦτο καὶ κατηγορίας, καὶ κολάσεως ἄξιον. πολλοὶ γοῦν παρ' ἡμῖν ἐγένοντο προφῆται θαυμαστοὶ, καὶ μεγάλοι, καὶ πολλὰ περὶ τῶν μελλόντων προειπόντες, καὶ οὐδαμοῦ τοὺς ἐρωτῶντας ἐκέλευον τὰ τῶν ἀπελθόντων ἀνορύττειν ὀστᾶ· ἀλλ' ὁ μὲν Ιεζεκιὴλ αὐτῶν τῶν ὀστῶν πλησίον ἑστὼς, οὐ μόνον οὐδὲν ἐνεποδίζετο παρ' ἐκείνων, ἀλλὰ καὶ σάρκας αὐτοῖς, καὶ νεῦρα, καὶ δέρματα περιθεὶς εἰς ζωὴν ἐπανήγαγεν αὐτὰ πάλιν. ὁ δὲ μέγας Μωϋσῆς οὐ πλησίον ὀστῶν εἱστήκει νεκρῶν, ἀλλ' αὐτὸν ὅλον νεκρὸν ἐπιφερόμενος τοῦ Ιωσὴφ, οὕτω τὰ μέλοντα προὔλεγε. καὶ μάλα εἰκότως. τὰ μὲν γὰρ ἐκείνων ῥήματα πνεύματος ἁγίου χάρις ἦν· τὰ δὲ τούτων, ἀπάτη, καὶ ψεῦδος οὐδαμόθεν συσκιασθῆναι δυνάμενον. ὅτι γὰρ σκῆψις ταῦτα, καὶ πρό-

φασις ἦν, καὶ τὸν μακάριον ἐδεδοίκει Βαβύλαν, δηλὸν δὲ ἐξ ὧν ὁ βασιλεὺς ἔπραξε. τοὺς γὰρ ἄλλους ἅπαντας νεκροὺς ἀφεὶς, ἐκεῖνον τὸν μάρτυρα μόνον ἐκίνει. καὶ τοίγε εἰ βδελυττόμενος αὐτὸν, ἀλλὰ μὴ φοβούμενος ταῦτα ἔπραττεν, ἐχρῆν κελεῦσαι συντριβῆναι τὴν λάρνακα, καταποντωθῆναι, εἰς ἐρημίαν ἀπαχθῆναι, ἑτέρῳ τινὶ ἀπωλείας ἀφανισθῆναι τρόπῳ. τοῦτο γὰρ ἦν βδελυττομένου. οὕτως ὁ θεὸς ἐποίησεν, ὅτε περὶ τῶν βδελυγμάτων τῶν ἐθνῶν τοῖς Ἑβραίοις διελέγετο· συντριβῆναι τὰς στήλας αὐτῶν ἐκέλευσεν, οὐκ ἀπὸ τῶν προαστείων ἐπὶ τὰς πόλεις ἄγειν τὰ μιάσματα. ὁ μὲν οὖν μάρτυς ἐκινεῖτο, ὁ δὲ δαίμων οὐδὲ οὕτως ἀδείας ἀπέλαυεν· ἀλλ' εὐθέως ἐμάνθανεν, ὅτι ὀστᾶ μὲν μάρτυρος μετακινῆσαι δυνατόν ἐστιν, χεῖρας δὲ μάρτυρος διαφυγεῖν ἀδύνατον. ὁμοῦ τε γὰρ ἡ λάρναξ ἐπὶ τὴν πόλιν εἵλκετο, καὶ κεραυνὸς ἄνωθεν ἐπὶ τὴν κεφαλὴν ἤρχετο τοῦ ξοάνου, καὶ τὰ πάντα κατέφλεγε. καὶ τοί γε εἰ καὶ μὴ πρότερον, τότε γοῦν εἰκὸς ἦν ὀργισθῆναι τὸν ἀσεβῆ βασιλέα, καὶ τὴν ὀργὴν ἀφεῖναι εἰς τὸ μαρτύριον τοῦ μάρτυρος. ἀλλ' οὐδὲ τότε ἐτόλμησε. τοσοῦτος αὐτὸν κατεῖχε φόβος, ἀλλὰ καίτοι τὸν ἐμπρησμὸν ὁρῶν ἀφόρητον ὄντα, καὶ τὴν αἰτίαν εἰδὼς ἀκριβῶς, ἡσύχαζε. καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ θαυμαστὸν, ὅτι τὸ

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-597310-p0075-0

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-597310-p0076-5

μαρτύριον οὐ κατέσκαψε, ἀλλ' ὅτι μηδὲ τὴν στέγην ἐπιθεῖναι πάλιν τῷ ναῷ οὐκ ἐτόλμησεν. ᾔδει γάρ, ᾔδει θεήλατον οὖσαν τὴν πληγήν, καὶ ἐδεδοίκει μὴ περαιτέρω τι διανοηθείς, ἐπὶ τὴν οἰκείαν ἐκεῖνο καλέσῃ τὸ πῦρ κεφαλήν. διὰ τοῦτο ἠνείχετο εἰς τοσαύτην ἐρημίαν κατενεχθέντα τὸν ναὸν τοῦ Ἀπόλλωνος ὁρῶν. οὐδὲ γὰρ ἄλλη τις αἰτία, δι' ἣν οὐ διώρθωσε τὸ γεγεννημένον, ἀλλ' ὁ φόβος μόνον δι' ὃν ἄκων ἡσύχαζε, καὶ ταῦτα εἰδώς, ὅσον μὲν ὄνειδος καταλείπει τῷ δαίμονι, ὅσον δὲ κόσμον τῷ μάρτυρι. καὶ γὰρ ἑστήκασιν οἱ τοῖχοι νῦν ἀντὶ ζοπάιων, σάλπιγγος λαμπροτέραν ἀφιέντες φωνήν, τοῖς ἐν τῇ Δάφνῃ, τοῖς ἐν τῇ πόλει, τοῖς πόρρωθεν ἀφικνουμένοις, τοῖς συνοῦσι, τοῖς αὖθις ἐσομένοις ἀνθρώποις ἅπαντα διηγοῦνται διὰ τῆς ὄψεως, τὴν πάλην, τὴν συμπλοκήν, τὴν νίκην τοῦ μάρτυρος. τὸν γὰρ πόρρωθεν ἀφιστάμενον τὸν προαστείου, καὶ τὸ μὲν μαρτύριον τοῦ ἁγίου τῆς λάρνακος ἔρημον, τὸν δὲ ναὸν τοῦ Ἀπόλλωνος τὴν στέγην ἀφῃρημένον ὁρῶντα, εἰκὸς τὴν αἰτίαν τούτων ἑκατέρων ζητεῖν· εἶτα πᾶσαν μαθόντα τὴν ἱστορίαν, οὕτως ἀπελθεῖν ἐκεῖθεν. τοιαῦτα τοῦ μάρτυρος τὰ κατορθώματα, τὰ μετὰ τὴν τελευτήν. διὸ καὶ τὴν ὑμετέραν μακαρίζω πόλιν, ὅτι πολλὴν περὶ τὸν ἅγιον τοῦτον ἐπεδείξασθε τὴν σπουδήν. καὶ γὰρ τότε ἡνίκα ἀπὸ

τῆς Δάφνης ἐπανήει, πᾶσα μὲν ἡμῖν ἡ πόλις εἰς τὴν ὁδὸν ἐξεχύθη, καὶ κεναὶ μὲν ἀγοραὶ ἀνδρῶν, κεναὶ δὲ γυναικῶν ἦσαν αἱ οἰκίαι, ἔρημοι δὲ παρθένων οἱ θάλαμοι. οὕτω καὶ ἡλικία πᾶσα, καὶ φύσις ἑκατέρα τῆς πόλεως ἐξεπήδησαν, ὥσπερ πατέρα ἀποληψόμενοι χρόνιον, ἐκ μακρᾶς ἐπανιόντα τῆς ἀποδημίας. καὶ ὑμεῖς μὲν αὐτὸν τῷ τῶν ὁμοζήλων ἀπεδώκατε χορῷ· ἡ δὲ τοῦ θεοῦ χάρις οὐκ εἴασεν ἐκεῖ διηνεκῶς μεῖναι, ἀλλὰ πάλιν αὐτὸν τοῦ ποταμοῦ πέραν μετέστησεν, ὥστε πολλὰ τῶν χωρίων τῆς εὐωδίας ἐμπλησθῆναι τοῦ μάρτυρος. καὶ οὐδὲ ἐνταῦθα ἐλθὼν μόνος ἔμελλεν ἔσεσθαι, ἀλλὰ ταχέως γείτονα, καὶ ὁμόσκηνον τὸν ὁμότροπον ἔλαβε. καὶ γὰρ τῆς ἀρχῆς ἐκοινώνησεν αὐτῷ τῆς αὐτῆς, καὶ παῤῥησίαν ἴσην ἐπεδείξατο τῆς εὐσεβείας ἕνεκεν. διὸ καὶ τὴν σκηνὴν ἔλαχεν αὐτῷ τὴν αὐτήν, οὐ μάτην, ὡς ἔοικεν, ὁ θαυμαστὸς οὗτος τοῦ μάρτυρος ζηλωτής. τοσοῦτον γὰρ ἐπόνει τὸν χρόνον ἐκεῖ, βασιλεῖ συνεχῶς ἐπιστέλλων, ἄρχοντας ἐνοχλῶν, καὶ τὴν ἀπὸ τοῦ σώματος λειτουργίαν εἰσφέρων τῷ μάρτυρι. ἴστε γὰρ δήπου, καὶ μέμνησθε, ὅτι μὲν θέρους τῆς ἀκτῖνος μέσης κατεχούσης τὸν οὐρανόν, μετὰ τῶν προσεδρευόντων αὐτῷ, καθ' ἑκάστην ἐβάδιζεν ἐκεῖ τὴν ἡμέραν. οὐχ ὡς θεατὴς μόνον, ἀλλὰ καὶ ὡς κοινωνὸς τῶν γινομένων ἐσόμενος. καὶ γὰρ λίθους

συνεφή-

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-597310-p0079-6

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-597310-p0080-7

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-597310-p0081-3

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-597310-p0082-8

συνεψήφατο πολλάκις, καὶ σχοῖνον εἵλκυσε, καὶ οἰκοδομίας δεομένῳ τινὸς, πρὸ τῶν ὑπουργούντων ὑπήκουσεν· ᾔδει γὰρ, ᾔδει πόσοι τούτων αὐτῷ κεῖνται οἱ μισθοί. καὶ διὰ τοῦτο διετέλει θεραπεύων τοὺς μάρτυρας, οὐκ οἰκοδομαῖς μόνον λαμπραῖς, οὐδὲ ἐπαλλήλοις ἑορταῖς, ἀλλὰ τῷ βελτίονι τούτων τρόπῳ. τίς δὲ ἐστιν οὗτος; μιμεῖται τὸν βίον αὐτῶν, ζηλοῖ τὴν ἀνδρείαν, διὰ πάντων κατὰ δύναμιν τὴν εἰκόνα διασώζει τῶν μαρτύρων ἐν ἑαυτῷ. ὅρα γάρ. ἐπέδωκαν ἐκεῖνοι τὰ σώματα τῇ σφαγῇ· ἐνέκρωσεν οὗτος τὰ μέλη τῆς σαρκὸς τὰ ἐπὶ τῆς γῆς. ἔστησαν ἐκεῖνοι πρὸς φλόγα πυρὸς, ἔσβεσεν οὗτος τῆς ἐκθυμίας τὴν φλόγα. ἐμαχήσαντο πρὸς ὀδόντας θηρίων ἐκεῖνοι· ἀλλὰ καὶ οὕτως τὸ χαλεπώτατον τῶν ἐν ἡμῖν παθῶν τὴν ὀργὴν ἐκοίμισεν. ὑπὲρ δὴ τούτων ἁπάντων εὐχαριστήσωμεν τῷ θεῷ, ὅτι καὶ μάρτυρας οὕτω γενναίους ἡμῖν ἐχαρίσατο, καὶ ποιμένας μαρτύρων ἀξίους, εἰς καταρτισμὸν τῶν ἁγίων, εἰς οἰκοδομὴν τοῦ σώματος τοῦ χριστοῦ, μεθ' οὗ τῷ πατρὶ δόξα, τιμὴ, κράτος, σὺν τῷ ἁγίῳ καὶ ζωοποιῷ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων,

ἀμήν.

ΤΕΛΟΣ.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-597310-p0085-5

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-597310-p0086-1

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-597310-p0087-7

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-597310-p0088-2

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-597310-p0089-1

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-597310-p0090-6

~~F 790~~

~~12°~~

~~D 38~~
3

F 1320

VD17

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-597310-p0091-2

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-597310-p0092-8

... ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ
ἡμῶν
... ΝΝΟΥ
... ΠΙΣΚΟΠΟΥ
... ΝΤΙΝΟΥΠΟΛΕΩΣ
... χρυσοστόμου,

... ΚΩΜΙΑΣΤΙΚΑ ΕΙΣ
... ρτυρε Ιγνάτιον καὶ Βαβύλαν
... κόπω Αντιοχείας τῆς
... μεγάλης.

... ti Patris nostri
... CHRYSOSTOMI
... COPI CONSTANTI-
... TANI ENCOMIA,

... m Ignatij & Babylæ Archiepi-
... s Antiochenorum.

... AGRIPPINAE,
... kmannica, sumptibus
... hanni Mylij.
... M. DC. XI.

M
Ma 250
... pauperum Bamberg
UNIVERSITÄT HALLE, THEOL. SEMINAR

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-597310-p0093-4
DFG